# Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝ. ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ ΔΕΥΤΕΡΑ.

Παῦλος καὶ σιλουανὸς καὶ τιμόθεος, τῇ ἐκκλησίᾳ 1
θεσσαλονικέων ἐν θεῷ πατρὶ ἡμῶν καὶ κυρίῳ ἰησοῦ
χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς 2
ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ.

Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἀδελ- 3
φοί, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν,
καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλή-
λους, ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησί- 4
αις τοῦ θεοῦ, ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως, ἐν πᾶσι
τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε, ἔνδει- 5
γμα τῆς δικαίας κρίσεως τοῦ θεοῦ, εἰς τὸ καταξιωθῆναι ὑμᾶς
τῆς βασιλείας τοῦ θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε· εἴπερ δίκαιον 6
παρὰ θεῷ, ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν, | καὶ 7
ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ᾽ ἡμῶν, ἐν τῇ ἀποκαλύψει
τοῦ κυρίου ἰησοῦ ἀπ᾽ οὐρανοῦ, μετ᾽ ἀγγέλων δυνάμεως αὐτοῦ,
| ἐν πυρὶ φλογὸς, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι θεὸν 8
καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ· οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον, ἀπὸ προσώ- 9
που τοῦ κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ· ὅταν 10
ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι
ἐν πᾶσι τοῖς πιστεύσασιν, ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ᾽
ὑμᾶς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· εἰς ὃ καὶ προσευχόμεθα πάν- 11
τοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ θεὸς ἡμῶν,
καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης καὶ ἔργον πίστεως
ἐν δυνάμει. ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ κυρίου ἡμῶν ἰησοῦ 12
χριστοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ θεοῦ
ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ.

2 Theff. I. 1 κυρίῳ ἰησοῦ χριστῷ] χριστῷ ἰησοῦ δ
8 χριστοῦ] ' β 12 med. χριστοῦ] ' δ

Ἐρωτῶ-

Ἐρωτῶμεν δὲ ὑμᾶς ἀδελφοὶ, ὑπὲρ τῆς παρουσίας τοῦ κυ-
ρίου ἡμῶν ἰησοῦ χριστοῦ, καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ'
2 αὐτὸν, εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς,
μήτε θροεῖσθαι μήτε διὰ πνεύματος, μήτε διὰ λόγου,
μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ
3 χριστοῦ· Μήτις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον·
ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ
4 ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, | ὁ ἀντι-
κείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ
σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ ὡς θεὸν καθίσαι,
5 ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ θεός. Οὐ μνημονεύετε ὅτι ἔτι
6 ὢν πρὸς ὑμᾶς, ταῦτα ἔλεγον ὑμῖν; καὶ νῦν τὸ κατέχον
οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ.
7 τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέ-
8 χων ἄρτι ἕως ἐκ μέσου γένηται· καὶ τότε ἀποκαλυφθήσεται
ὁ ἄνομος, ὃν ὁ κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος
αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ·
9 Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σατανᾶ ἐν πάσῃ δυ-
10 νάμει καὶ σημείοις καὶ τέρασι ψεύδους | καὶ ἐν πάσῃ ἀπάτῃ
τῆς ἀδικίας, ἐν τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν τὴν ἀγάπην τῆς
11 ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς· καὶ διὰ τοῦτο
πέμψει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι
12 αὐτοὺς τῷ ψεύδει· ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ
13 ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ. Ἡμεῖς δὲ
ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ
ἠγαπημένοι ὑπὸ κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ θεὸς ἀπ' ἀρχῆς
εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος καὶ πίστει ἀληθείας,
14 | εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίη-
15 σιν δόξης τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. ἄρα οὖν ἀδελφοὶ,
στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε
16 διὰ λόγου εἴτε δι' ἐπιστολῆς ἡμῶν. αὐτὸς δὲ ὁ κύριος
ἡμῶν ἰησοῦς χριστὸς, καὶ ὁ θεὸς καὶ πατὴρ ἡμῶν ὁ ἀγαπή-
σας ἡμᾶς καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν
17 ἐν χάριτι, παρακαλέσαι ὑμῶν τὰς καρδίας καὶ στηρίξαι
ὑμᾶς ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.

II. 2 χριστοῦ] κυρίου β 4 ὡς θεὸν] ' ε 6 ἑαυτοῦ] αὐτοῦ β
8 ὁ κύριος] ὁ κύριος ἰησοῦς β ¶ ἀναλώσει] ἀνελεῖ δ
10 ἐν alterum] ' β 11 καὶ] ' ε ¶ πέμψει] πέμπει ε
17 ὑμᾶς] ' β ¶ λόγῳ καὶ ἔργῳ] ἔργῳ καὶ λόγῳ β

3

ΤΟ λοιπὸν, προσεύχεσθε ἀδελφοὶ περὶ ἡμῶν, ἵνα ὁ λό- 1
γος τοῦ κυρίου τρέχῃ καὶ δοξάζηται καθὼς καὶ πρὸς
ὑμᾶς, καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀν- 2
θρώπων· οὐ γὰρ πάντων ἡ πίστις. πιστὸς δέ ἐστιν ὁ κύριος, 3
ὃ στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. πεποίθαμεν 4
δὲ ἐν κυρίῳ ἐφ᾽ ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποι-
εῖτε καὶ ποιήσετε. ὁ δὲ κύριος κατευθύναι ὑμῶν τὰς καρ- 5
δίας εἰς τὴν ἀγάπην τοῦ θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ
χριστοῦ.

Παραγγέλλομεν δὲ ὑμῖν ἀδελφοὶ, ἐν ὀνόματι τοῦ κυρίου 6
ἡμῶν ἰησοῦ χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτά-
κτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέ-
λαβον παρ᾽ ἡμῶν. αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι 7
ἡμᾶς· ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, | οὐδὲ δωρεὰν ἄρτον 8
ἐφάγομεν παρά τινος, ἀλλ᾽ ἐν κόπῳ καὶ μόχθῳ, νύκτα
καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν·
οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ᾽ ἵνα ἑαυτοὺς τύπον δῶμεν 9
ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, 10
τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι,
μηδὲ ἐσθιέτω. ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν 11
ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. τοῖς 12
δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν διὰ τοῦ κυρίου
ἡμῶν ἰησοῦ χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυ-
τῶν ἄρτον ἐσθίωσιν. ὑμεῖς δὲ ἀδελφοὶ, μὴ ἐκκακήσητε κα- 13
λοποιοῦντες. εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς 14
ἐπιστολῆς τοῦτον σημειοῦσθε· καὶ μὴ συναναμίγνυσθε αὐτῷ,
ἵνα ἐντραπῇ· καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε 15
ὡς ἀδελφόν. αὐτὸς δὲ ὁ κύριος τῆς εἰρήνης δῴη ὑμῖν 16
τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ· ὁ κύριος μετὰ
πάντων ὑμῶν.

Ο ἀσπασμὸς τῇ ἐμῇ χειρὶ παύλου, ὅ ἐστι σημεῖον ἐν πά- 17
σῃ ἐπιστολῇ· οὕτω γράφω· | ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ 18
χριστοῦ μετὰ πάντων ὑμῶν. ἀμήν.

Προς θεσσαλονικεις δευτερα εγραφη απο αθηνων.

---

III. 16 τρόπῳ] τόπῳ δ.